ΛΕΟΝΙΔΟΥ ταραντίνου τοῖς ἀγρόταις θεοῖς.

Αυλια καὶ νυμφέων ἱερὸς πάγος, αἵθ' ὑπὸ πέτρῃ
Πίδακες, ἥθ' ὕδασιν γειτονέουσα πίτυς,
Καὶ σὺ τετράγλωχιν μηλοσσόε μαιάδος ἑρμᾶ
Ος τε τὸν αἰγιβότην πᾶν κατέχεις σκόπελον,
Ιλαοι τὰ ψαιστὰ, τὸ, τε σκύφος ἔμπλεον οἴνης
Δέξασθ', αἰακίδεω δῶρα νεοπτολέμου.

---

ΕΙΣ ΑΝΑΠΗΡΟΥΣ, κεφ. δ.

ΦΙΛΙΠΠΟΥ, οἱ δὲ, ΙΣΙΔΩΡΟΥ.

Πηρὸς ὁ μὲν γυίοις, ὁ δ' ἄρ ὄμμασιν. ἀμφότεροι δὲ
Εἰς αὐτοὺς τὸ τύχης ἐνδεὲς ἠράνισαν.
Τυφλὸς γὰρ λιπόγυιον ἐπωμάδιον βάρος αἴρων
Ταῖς κείνου φωναῖς ἀτραπὸν ὠρθοβάτει.
Πάντα δὲ ταῦτ' ἐδίδαξε πικρὴ πάντολμος ἀνάγκη,
Αλλήλοις μερίσαι τοὐλλιπὲς εἰς ἔλεον.

ΛΕΟΝΙΔΟΥ, εἰς τὸ αὐτό.

Τυφλὸς ἀλητεύων χωλὸν πόδας ἤρταζεν,
Ομμασιν ἀλλοτρίοις ἀντερανιζόμενος.
Αμφω δ' ἡμιτελεῖς πρὸς ἑνὸς φύσιν ἡρμόσθησαν,
Τοὐλλιπὲς ἀλλήλοις ἀντιπαρασχόμενοι.

Εἰς τὸ αὐτὸ ΠΛΑΤΩΝΟΣ νεωτέρου.

Ανέρα τις λιπόγυιον ὑπὲρ νώτοιο λιπαυγὴς
Ηγε πόδας χρήσας, ὄμματα χρησάμενος.

ΑΝΤΙ-

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id332550885/30 gefördert von der Deutschen Forschungsgemeinschaft DFG